*κώνων σύναψις εἰς ταὐτὸ καὶ σύλλαμψις ἐκ δυεῖν μίαν ὄψιν ἀπειργασμένη. τούτων δ' οὕτως ἐχόντων οἱ μὲν* **626** *ἐγγὺς προσάγοντες τὰ γράμματα πρεσβῦται, | μηδέπω τῶν αὐγῶν συγκεχυμένων ἀλλ' ἑκατέρᾳ χωρὶς ἐπιθιγγάνοντες, ἀσθενέστερον ἐπιλαμβάνονται· οἱ δ' ἀπωτέρω προθέμενοι, μεμιγμένου τοῦ φωτὸς ἤδη καὶ πολλοῦ γεγονότος, μᾶλλον ἐξακριβοῦσιν, ὥσπερ οἱ ταῖς δυσὶν ὁμοῦ χερσὶ κατέχοντες ὃ τῇ ἑτέρᾳ μὴ δύνανται.*

**3.** *Λαμπρίας δ' ὁ ⟨ἀδελφὸς⟩ τὴν Ἱερωνύμου* (fr. 19 Hi.) *. . . οὐκ ἀνέγνωκεν . . . εὐφυΐαν ἐμπεσὼν . . . ὅτι τοῖς προσπίπτουσιν ἀπὸ τῶν ὁρατῶν ⟨εἴδε⟩σιν πρὸς τὴν ὄψιν ὁρῶμεν, ἃ πρῶτον μὲν ἀπέρχεται μεγάλα καὶ παχυμερῆ, διὸ τοὺς γέροντας ἐγγύθεν ἐπιταράττει βραδυπόρον καὶ σκληρὰν ἔχοντας τὴν ὅρασιν· ἀνενεχθέντων δ' εἰς τὸν* B *ἀέρα καὶ λαβόντων διάστημα, τὰ μὲν γεώδη περιθραύεται καὶ ἀποπίπτει, τὰ δὲ λεπτὰ προσπελάζοντα ταῖς ὄψεσιν ἀλύπως καὶ ὁμαλῶς ἐναρμόττει τοῖς πόροις, ὥσθ' ἧττον ταραττομένους μᾶλλον ἀντιλαμβάνεσθαι. καὶ γὰρ αἱ τῶν ἀνθῶν ὀσμαὶ πόρρωθεν εὐωδέστεραι προσπίπτουσιν, ἂν δ' ἐγγύθεν ἄγαν προσάγῃς, οὐχ οὕτω καθαρὸν οὐδ' ἄκρατον ὀδώδασιν· αἴτιον δ' ὅτι πολλὰ τῶν γεωδῶν καὶ θολερῶν συναποφέρεται τῇ ὀσμῇ καὶ διαφθείρει τὴν εὐωδίαν ἐγγύθεν λαμβανομένης, ἂν δ' ἄπωθεν, τὰ μὲν θολερὰ καὶ γεώδη περιρρεῖ καὶ ὑποπίπτει, τὸ δ' εἰλικρινὲς*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415473934/40 UNIVERSITÄT LEIPZIG